ΒΑΡΘΟΛΟΜΑΙΟΥ ΚΟΥΤΛΟΥΜΟΥΣΙΑΝΟΥ

ΤΟΥ ΙΜΒΡΙΟΥ

ὑφ᾽ οὗ

περιεγράφη σαφέστερον καὶ περιπατικώτερον ἡ ἱστορία πολλῶν
τοῦ Μηνολογίου ἑορτῶν, καὶ νῦν πρῶτον τύποις ἐξεδόθη.

ΔΕΥΤΕΡΑ ΕΚΔΟΣΙΣ.

ΕΝ ΒΕΝΕΤΙᾼ
Ἐκ τῆς Ἑλληνικῆς Τυπογραφίας Φραγκίσκυ Ἀνδρεώλα.
1834.

## ✠ 30. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου, τοῦ συγγραφέως τῆς Κλίμακος.

Οὗτος ἐγεννήθη ἐν Παλαιστίνῃ, περὶ τὰ 523. ἐδόθη εἰς τὴν ἄσκησιν ἐκ νεαρᾶς ἡλικίας· προεχειρίσθη ἡγούμενος τῆς ἐν τῷ Σιναίῳ Ὄρει μονῆς· συνέγραψε περὶ ἀρετῆς τριάκοντα λόγους, ὧν ἕκαστος περιλαμβάνων μίαν ἀρετήν, καὶ ἀπὸ τῶν πρακτικῶν ἐπὶ τὰς θεωρητικὰς προχωροῦντες, ἀναβιβάζουσι τὸν ἄνθρωπον, ὡς διὰ βαθμίδων τινῶν, εἰς οὐράνιον ὕψος· δι' ἣν αἰτίαν καὶ τὸ σύγγραμμα τοῦτο ὀνομάζεται, Κλίμαξ τῶν Ἀρετῶν. Ἀπέθανε δὲ τῷ 603, ἐτῶν ὀγδοήκοντα.

### Ἀπολυτίκιον, Ἦχος πλ. δ'.

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας, καὶ τοῖς ἐκ βάθους στεναγμοῖς εἰς ἑ-